πρὸς μάχην καὶ κατάλυσιν· κατὰ δὲ τὸ τέλος ἐν ζωῇ μὲν
διαφέρουσιν, ὅτι οἱ μὲν πρὸς ἀλήθειαν ὁρῶντες βεβαιοτάτην
φιλίαν κτησάμενοι ἀπέρχονται, οἱ δὲ πρὸς νίκην μαχόμενοι
καὶ τύπτοντες ἀλλήλους, ὡς καὶ τοὺς ἀκροατὰς δυσχεραίνειν
καὶ μέμφεσθαι ἑαυτοῖς, διότι ὅλως ἠκροάσαντο· φησὶν οὖν,
ὅτι ἐλεγχθῆναί τε καὶ ἐλέγξαι προῄρημαι· ἐλεγχθῆναι μέντοι
μάλιστα, εἴπερ κακῶς λέγω, ἐπειδὴ κρεῖττον τὸ ὠφελεῖσθαι·
καὶ γὰρ ὁ ἰατρὸς ὑγιάζεσθαι μᾶλλον προῄρηται ἢ ὑγιάζειν·
ἐλέγξαι δὲ κακῶς αὐτὸν λέγοντα· ἀσεβὲς γὰρ περιιδεῖν· εἰ
γὰρ οἱ ἰατροὶ τὰς κακοχυμίας τῶν σωμάτων ἐκμοχλεύουσι,
πολλῷ μᾶλλον οἱ φιλόσοφοι τὰς μοχθηρὰς τῆς ψυχῆς δόξας
ἐκκαθαίρειν σπεύδουσιν. πρὸς ταῦτα τοίνυν ἀποφυγεῖν θέλων 2
ὁ Γοργίας φησίν· ἀλλ' οἱ παρόντες εἰκὸς οὐ λόγων ἔρωσιν
ἀλλὰ πραγμάτων, καὶ δεῖ φροντίσαι καὶ αὐτῶν καὶ ἀπολῦσαι
αὐτούς· εἶτα ἐπειδὴ εἶπεν τοῦτο, θόρυβος ἐγένετο λεγόντων
τῶν παρόντων, ὅτι χαίρομεν ἀκούοντες. ὁ τοίνυν Χαιρεφῶν
λέγει, ὅτι θέλουσιν καὶ οἱ παρόντες πάντες κἀγὼ ἀκοῦσαι,
εἶτα ὁ Καλλικλῆς φησίν, ὅτι ἡδέως ἔχω πᾶσαν τὴν ἡμέραν
ἀκροάσασθαι. ἐπεὶ οὖν εἶπον ταῦτα καὶ ἄκων διὰ τὴν αἰσχύνην ὁμολογεῖ χαίρειν τῷ ἐλέγχεσθαι, καὶ λοιπὸν προβάλλονται τοὺς λόγους καὶ ἔρχονται εἰς τὴν συνουσίαν, καὶ ἐλέγχει αὐτόν.

p. 457 d. ὀρθῶς λέγειν ἢ μὴ σαφῶς.

τὸ μὲν ὀρθῶς περὶ τὴν διάνοιαν θεωρεῖται, τὸ δὲ σαφῶς 3
περὶ τὴν φράσιν.

p. 457 e. οὐ πάνυ ἀκόλουθα λέγειν.

ὅρα ἦθος θεῖον τοῦ Σωκράτους· οὐκ εἶπεν γάρ, ὅτι ἀνα- 4
κόλουθα καὶ ψευδῆ λέγεις, ἀλλὰ οὐ πάνυ ἀκόλουθα τῷ μετρίῳ καλάζων τὸ δριμὺ τῆς ἐγκλήσεως.

p. 458 a. ἢ ἄλλον ἀπαλλάξαι.

ὁ γὰρ μὴ ἑαυτὸν πρότερον καθάρας ἄλλον οὐκ ἄν ποτε 5
καθάροι.

---

31 mg. ση.